This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

808
G144p
1903

A 916,878

Chapman.
Advantages
of an academy
of letters.

Univ. of Mich.


1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

808
G144p
1903

Gaisford Greek Prose, 1903

# Advantages of An Academy of Letters

By

R. W. Chapman

Oriel College

Oxford

B. H. Blackwell, 50 & 51 Broad Street

1903

OXFORD HORACE HART
PRINTER TO THE UNIVERSITY

# ADVANTAGES OF AN ACADEMY OF LETTERS

29 d 0 6 9 6.3.5.

*Οἶδα μέν, ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσιν, καὶ μᾶλλον ἀγαπῶσι τοὺς ἅπαντας πρὸς χάριν ποιεῖσθαι τοὺς λόγους ἐθέλοντας ἢ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν ἀξιοῦντας. πρὸ πολλῶν δ' ἂν χρημάτων προελοίμην, εἰ πᾶσιν ὑμῖν ἐπιδεῖξαι δυνηθείην καὶ ποιῆσαι φανερόν, ὡς οὔ με τὸ πρᾶγμα διαλέληθεν ὡς ἔστι χαλεπόν, οὐδὲ διαψευσθεὶς τῆς ἐμῆς δυνάμεως περὶ τῶν τοῖς πολλοῖς λίαν πόρρω τῶν πραγμάτων εἶναι δοκούντων ἐπεχείρησα λέγειν, ἀλλ' ἐλπίζων γενήσεσθαι τῇ πόλει τῶν μεγίστων ἀγαθῶν αἴτιος. εἰ μὲν οὖν ὁ λόγος ὁ νῦν μέλλων ῥηθήσεσθαι παντάπασιν ἦν καινός, οὐδὲν ἂν ᾤμην πρὸς τούτοις προδιαλεχθῆναι πλέον, ἀλλ' εὐθὺς ἐπ' αὐτὰ τὰ πράγματ' ἐβάδιζον. ἐπειδὴ δ' οὐχ οὕτως ἔχει, δοκεῖ μοι χρῆναι διὰ μακροτέρων ἀκριβῶσαι τὴν ὑπόθεσιν, ἵνα ῥᾷον ἐπακολουθῆτε τοῖς λεγομένοις.*

*οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι καὶ πρότερόν ποτέ τινες τῶν μάλιστ' εὐδοκιμησάντων ἐπὶ σοφίᾳ λόγους ἐξέδοσαν, τὴν μὲν ῥᾳθυμίαν τὴν ὑμετέραν καὶ τὴν ὑπερηφανίαν ψέγοντας, περὶ δὲ τῆς τῶν λόγων ἐπιμελείας καινὰς ὑποθέσεις εἰσηγουμένους. οὗτοι μὲν οὖν διὰ μὲν τὰς τῶν λόγων εὐρυθμίας καὶ τὰς τῶν δοξῶν ἐπιεικείας τούς γε πολλοὺς τῶν τότε σοφιστῶν ῥᾳδίως ὑπερέβαλον, ἔτι δ' οὕτω πολλῶν καὶ μεγάλων ἀγαθῶν*

128997

αἴτιοι τοῖς συμπολιτευομένοις ἦσαν, ὥστε τῆς μεγίστης χάριτος δικαίως ἠξιώθησαν. ἐγὼ δ' ἄτοπόν τι περὶ αὐτῶν τυγχάνω πεπονθώς. ὀκνῶ δὲ κατειπεῖν τὴν ἀλήθειαν· οὗτοι γάρ μοι δοκοῦσιν ἐκεῖνα μὲν τὰ μέρη τῶν ὑποθέσεων, ἐν οἷς τὴν μὲν ἀμέλειαν τὴν περὶ τῶν λόγων καὶ τῶν τοιούτων ἐπιτηδευμάτων ὑμῖν ὠνείδισαν, πολλῶν δὲ τῇ πόλει κακῶν αἰτίαν ἐδήλωσαν γεγονυῖαν, εὖ καὶ καλῶς ἀποτελέσαι· τὰ δ' ἑπόμενα τούτοις, ὡς ὑμᾶς χρή τινας ἑλέσθαι φρονίμους ἄνδρας τῶν ἐπὶ παιδείᾳ μεγίστην δόξαν εἰληφότων, οἵτινες ἁπάσης τῆς περὶ τοὺς λόγους φιλοσοφίας ἐπιμελήσονται, ταῦτ' ἀπερισκέπτως δοκοῦσι καὶ πάνυ φαύλως διεξελθεῖν. ἴσως δ' ἂν οὕτω βέλτιστα τὴν ἀλήθειαν δύναισθε κατιδεῖν, εἰ τύπῳ περιλαβὼν ἀπαριθμήσαιμι τοὺς λόγους αὐτῶν ὡς οἷόν τε διὰ βραχυτάτων· οὕτω γὰρ οἶμαι μάλιστα κατεπείγειν. πρῶτον μὲν οὖν τοῖς ἁμαρτήμασι τοῖς τῇ πόλει περὶ παιδείαν ἐνεστῶσιν ἰσχυρῶς ἐπέπληξαν, ἄλλα τε πολλὰ ψέγοντες καὶ μάλιστα τὸν τρόπον τὸν τῆς ἐνθάδε λέξεως, ἐπιδείξαντες τὴν πόλιν οὐ μόνον φαυλοτέρως ἐν τούτοις ἔχουσαν τοῦ δέοντος, ἀλλὰ καί τινων τῶν ἄλλων πόλεων πλεῖστ' ἀπολελειμμένην. ἔπειτα πάντων τούτων εἰς τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν ἀνενεγκόντες τὴν αἰτίαν, ἐπειράθησαν ὑμᾶς προαγαγέσθαι μετὰ πλείστης προθυμίας ταῖς τοιαύταις τῶν διατριβῶν προσέχειν τὸν νοῦν, δι' ὧν σπουδαιότεροι γένοισθ' ἂν εἰς παιδείαν καὶ μᾶλλον ἄξιοι τῆς δόξης τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. ἔτι δὲ πρὸς τούτοις καὶ ταύτην ἀπεφήναντο τὴν γνώμην, ὡς οὐδέποθ' οἷοί τ' ἔσεσθε τὰς πλημμελείας ταύτας διαλύσασθαι, πλὴν εἴ τινας ἔχοιθ' ὥσπερ ἐπιστάτας τῆς παιδείας, ἐπ' αὐτῷ τούτῳ χειροτονηθέντας, τῶν μὲν λόγους γράφειν προαιρουμένων ἐπιμελησομένους, τὰς δὲ ψευδεῖς δόξας

τὰς ἀεὶ περὶ αὐτῶν τοῖς ἰδιώταις ἐγγιγνομένας ἐπανορθώσοντας, ἐντεῦθεν λαβόντες τὰς πίστεις, ὅτι τῶν ἄλλων πόλεων τῶν ὁμόρων οὐσῶν τῇ μάλιστ' ἐν τούτοις διηκριβωμένη πολὺν ἤδη χρόνον ὑπῆρχέν τι τοιοῦτον.

τοιαύτην τοίνυν ποιησάμενοι τὴν ὑπόθεσιν, περὶ μὲν τῶν ἄλλων ἱκανῶς μοι δοκοῦσι συμβουλεῦσαι καὶ τῇ πόλει σφόδρα συμφερόντως, ἔτι δ' ὀνόμασι πρεπωδεστάτοις διαποικῖλαι τὴν λέξιν. ὧν δ' ἕνεκα περὶ ταύτην τὴν πραγματείαν μάλιστα προείλοντο γενέσθαι, ταῦτ' οὔτε σαφῶς οὔτε πιθανῶς ἀπέδειξαν, ἀλλὰ ῥᾳδίως καὶ λίαν αὐτοσχεδιάζοντες διεξῆλθον. μέγιστον δὲ τεκμήριον τῆς ἐκείνων ἀτυχίας· πολλάκις γάρ τινες ἤδη τῶν περὶ πλείστου ποιουμένων τὸ τῇ πόλει συμφέρον, ὀδυρόμενοι μὲν τὰς ἐνδείας τὰς ὑμῖν ἐνεστηκυίας, ἡγούμενοι δ' οὕτω βέλτιστ' ἂν αὐτῶν εὑρεθῆναι διάλυσιν, εἴ τι τοιοῦτον ἡ πόλις κτήσαιτο, οἷον ἐκεῖνοι συνεβούλευσαν, ὅμως ἀπώκνησαν δηλῶσαι τὰς διανοίας, καταμεμφόμενοι τὰς δυνάμεις τὰς σφῶν αὐτῶν· ἐνεθυμοῦντο γάρ, ὡς εἰ περὶ τὸ τοιαῦτα παραινεῖν ἐκεῖνοι γενέσθαι τολμήσαντες οὕτω φαύλως ἀπηλλάγησαν, οἵτινες διὰ τὰς ἄλλας ἀρετὰς τηλικαύτης ἠξιώθησαν δόξης, οὐδ' αὐτοὶ δήπου μέλλοιεν κατορθώσειν. οἱ δὲ πολλοὶ τῶν τ' ἰδιωτῶν καὶ τῶν αὐτοῖς χαρίζεσθαι μελετώντων ἀεὶ τοὺς λόγους τοὺς παραπλησίως ἔχοντας τοῖς ἐκείνων πάντας βασκαίνειν εἰώθασι καὶ διασύρειν, πρῶτον μὲν ὡς λίαν παραδόξους ὄντας καὶ παντάπασιν ἀμηχάνους, ἔπειθ' ὡς οὐδὲ πρὸς τὴν φύσιν τὴν ὑμετέραν ἁρμόττοντας.

ἀξιῶ δὲ παρ' ὑμῶν, εἰ καί μ' ὑπολαμβάνετε προπετέστερον ἐπαρθέντα γράψαι περὶ τῶν λόγων τῶν πρότερον ἐκδεδομένων πλείονα τοῦ δέοντος ἐνταῦθα διατρῖψαι χρόνον, ἀλλ' ὅμως συγγνώμης τυχεῖν. πρῶ-

τον μὲν γὰρ ἠβουλήθην πρὸς ὑμᾶς τὰς ἐκείνων πλημμελείας φανερώσας οὕτω τάς τε διαβολὰς ἐπιχειρεῖν καὶ τὰς δυσχερείας διαλύσασθαι τὰς ἐκεῖθεν λαβούσας τὴν ἀρχήν, ἐλπίζων οὕτω βέλτισθ' ὑμᾶς οἷός τ' ἔσεσθαι καταπραΰνειν καὶ ποιεῖν μετ' εὐνοίας διακοῦσαι τὸν λόγον. ἔπειτ' οὔ με διαλέληθεν, ὅτι τὴν ὑπόθεσιν τὴν νῦν μοι προκειμένην ἀτεχνῶς οὐχ οἷόν τ' ἔστιν οὕτω περαίνειν, ὥσθ' ὅλως ἀφεστάναι τῶν ὑπ' ἐκείνων γεγραμμένων. καὶ γὰρ τῶν ἀναγκαιοτάτων οὐκ ὀλίγ' ἐστὶν ἤδη προκατειλημμέν' αὐτοῖς. ἔτι δὲ καὶ τοῦτο διενοήθην, ὅτι διαφερόντως ἂν ταῦτ' ἀμφότερ' ἐπιδοίη, τό τ' ἐξαρκούντως ἅμα καὶ συντόμως ἐμὲ τὸν λόγον συνθεῖναι, καὶ τὸ ταχέως ὑμᾶς καὶ ῥᾳδίως συνιδεῖν περὶ αὐτοῦ τὴν ἀλήθειαν, εἰ τῶν ἐκείνοις εἰρημένων τὰ μὲν πλείστης τυχόντ' ἀκριβείας ὡς ἤδη συνωμολογημένα θείην, περὶ δὲ τῶν πλείους ἐχόντων ἀμφισβητήσεις εὐθὺς ποιησαίμην τοὺς λόγους. οὗτοι γάρ, εἰ καί τινες ὀρθῶς αὐτοῖς ἐπιτιμήσαιεν ὡς λίαν ἁπλῶς τισι καὶ τολμηρῶς χρησαμένοις, ἀλλ' οὖν πεποιήκασιν, ὥστε πολλὰ τῶν τότε καινῶν καὶ μάλ' ἀτόπων εἶναι δοξάντων νῦν τῶν πάνυ διατεθρυλημένων εἶναι καὶ σχεδὸν ἀναμφισβητήτως ἐχόντων. ὧν δὲ μάλιστ' ἐνθυμοῦμαι, ταῦτ' ἐξ αὐτῶν τῶν ἀναγνωσθήσεσθαι μελλόντων γενήσεται πᾶσι καταφανῆ.

μηδεὶς τοίνυν οἰέσθω μ' ἀγνοεῖν, ὅτι τῶν πολιτῶν εἰσί τινες, οἳ τῶν ἐν τοῖς λόγοις διατριβῶν ὅλως προσποιοῦνται καταφρονεῖν· ἐγὼ δὲ τούτους οὕτω πολὺ νομίζω διημαρτηκέναι τῆς ἀληθείας, ὥστ' οἶμαι δεῖν ἑνὶ λόγῳ τὰς τοιαύτας φλυαρίας ἀποδοκιμάσας ἐπὶ τοὺς ὡς ἀληθῶς δεινοὺς ὄντας ἤδη τραπέσθαι τῶν ἀνταγωνιστῶν. ἐκεῖνοι γὰρ δὴ τυγχάνουσι διαφερόντως τῶν ἄλλων δυσπείστως ἔχοντες, οἵτινες ὁμολογοῦσι μὲν

χαριεστάτας εἶναι τὰς τοιαύτας ἐπιτηδεύσεις, καὶ πρὸς τὸ τοῖς συνοῦσιν ἐλαφρῶς ὁμιλεῖν καὶ μετρίως πλεῖστα συντεινούσας, ἀντιλέγουσι δ', ὡς εἰς τὸ καλῶς καὶ συμφερόντως βουλεύεσθαι περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων οὐδὲν ὡς ἔπος εἰπεῖν τὴν πόλιν ὠφελοῦσιν. οὕτω δὲ πολὺ τυγχάνω τούτοις ἐναντιούμενος, ὥστ' οἴομαι πᾶσιν ὑμῖν οἷός τ' ἔσεσθαι δηλοῦν, ὅτι πάντων τῶν ἐπιτηδευμάτων τῶν μάλιστ' εἰς εὐπραγίαν τῇ πόλει χρησίμων ὄντων οὐδὲν πώποτε τοσαῦτα τὸ πλῆθος καὶ τηλικαῦτα τὸ μέγεθος ἀγαθὰ συγκατεσκεύασεν, οἵων ἡ περὶ τοὺς λόγους φιλοσοφία γέγονεν αἰτία.

περὶ τούτων τοίνυν ἀθροώτατον μὲν ἔχων εἰπεῖν, φοβούμενος δέ, μή μ' ὑπολάβητε πόρρω τῆς ὑποθέσεως ἀποπλανηθῆναι, καθ' ὅσον δυνατὸν πειράσομαι τὸν λόγον συστεῖλαι, πολλὰ μὲν καὶ μεγάλα παραλιπών, τὰ δὲ πλεῖστον κατεπείγοντα διὰ βραχέων μνημονεύσας.

οὐ μὴν ἀλλ' οὐδὲ ταῦτά μοι λεκτέον ἐστί, πρὶν ἂν μικρὰ προείπω περὶ αὐτῶν. ἐγὼ μὲν γὰρ ὡς οἷόν τ' ἐρρωμενεστάτην ἔχω τὴν γνώμην, ὡς οἱ περί τε τῆς φιλοσοφίας σπουδάσαντες καὶ τὴν παιδείαν μελετήσαντες καὶ τοὺς ἄλλους προτρέψαντες ἐπὶ τὴν τῶν λόγων ἄσκησιν, οὕτω διαφερόντως ἐπιδοῦναι πεποιήκασιν καὶ γενέσθαι πλείονος ἀξίους οὐ μόνον τοὺς σφίσιν αὐτοῖς συμπολιτευομένους, ἀλλὰ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, ὥστε καὶ τοὺς τῆς μεγίστης χάριτος παρ' ἑκάστων τῶν πόλεων ἐπ' εὐεργεσίαις τυχόντας πλεῖστ' ἀπολελοίπασιν. ἐπειδὴ δ' εἰς ὑμᾶς παρῆλθον συμβουλεύσων ὑπὲρ τοῦ νόμῳ καταστῆσαί τινας ἐπιμελητὰς τῶν περὶ ταῦτα πραγματευομένων, οἶδα σαφῶς, ὅτι περὶ τούτων τῶν λογισμῶν, ὧν νῦν δὴ

τὴν μνείαν ἐποιησάμην, εἴτ' εἰσὶν ἀληθεῖς εἴτ' οὖν ψευδεῖς, μηδὲν ἁρμόττει χρόνον κατατρίβειν, ἀλλὰ πολὺ μᾶλλον ἐκείνοις προσέχειν τὸν νοῦν, δι' ὧν ἂν ὑμῖν ἐπιδεῖξαι δυναίμην, ὅσῳ ταῖς πόλεσι ταῖς σφετέραις αὐτῶν εἰς τὸ τὰ κοινὰ πάνθ' ὡς κάλλιστα διοικεῖσθαι βεβοηθήκασιν οἱ περὶ τοὺς λόγους δεινότατοι γεγονότες.

πρῶτον μὲν οὖν ἡγοῦμαι πάντας ἄν μοι τοὺς εὖ φρονοῦντας συνειπεῖν, ὅτι τῶν ἀρχῶν τῶν ἐν τῇ πόλει καθεστηκυιῶν μάλιστα μὲν χρὴ τυχεῖν τοὺς τῶν ἡλικιωτῶν φύσει πάντων προέχοντας, εἰ δὲ τοῦτ' ἀδύνατον, ἀλλ' οὖν τούς γε κάλλιστα πεπαιδευμένους τῶν ἄλλων καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυναμένους ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος. ὧν τίνας ἂν οἴεσθε μᾶλλον ἐφικέσθαι τῶν ἀκριβέστατ' ἐπισταμένων τὰ συγγράμματα τὰ τῶν παλαιῶν σοφιστῶν, καὶ τὰ παρὰ ταῖς ἄλλαις τῶν πόλεων νομιζόμενα σκοπεῖν εἰθισμένων καὶ πρὸς ἄλληλα παραβάλλειν, καὶ τοῖς ἐν τῷ παρεληλυθότι χρόνῳ γεγενημένοις περὶ τῶν μελλόντων κάλλιστα τεκμαίρεσθαι δυναμένων; ἔπειτ' οὐδὲ τοῦτο χρὴ λανθάνειν ὑμᾶς, ὅσων πρὸς παιδείαν ἀγαθῶν οἱ λόγοι γεγόνασιν αἴτιοι· τούτους γὰρ ὥσπερ γυμνασίαν τῆς ψυχῆς τοῖς νεωτέροις παρέχοντες συνεθίζομεν αὐτοὺς μένειν καὶ πονεῖν ἐπὶ τοῖς λεγομένοις καὶ δεικνυμένοις, ἀλλὰ μὴ πεπλανημένην ἔχειν τὴν διάνοιαν, ὥστ' ἐν τούτοις γυμνασθέντες καὶ παροξυνθέντες τὰ μᾶλλον αὐτοῖς τοῖς πράγμασι προσηρτημένα ῥᾷον καὶ θᾶττον δύνανται συνιδεῖν. καὶ τίνα δὴ καλλίω παραδείγματα τῆς πολιτικῆς ἀρετῆς ἢ πρεπωδέστερ' ἂν αὐτοῖς προσενέγκαιμεν ἢ τὰς πράξεις τὰς τῶν πάλαι γενναίων ἀνδρῶν, πρὸς οὓς τὴν ἅμιλλαν ἐνστησάμενοι τήν τε πόλιν ἂν εὐεργετήσαιεν καὶ τὴν

ὑπὸ τῶν προγόνων δόξαν καταλειφθεῖσαν διαφυλάξαιεν; ἔτι δὲ τοῦτο ῥᾴδιόν ἐστι κατιδεῖν, ὡς τοῖς προεστῶσι τῆς πόλεως ὑπερβαλλόντως συμφέρει τὸ λέγειν εὖ καὶ πιθανῶς· οἱ γὰρ τοιοῦτοι ταῖς τῶν πολλῶν δόξαις ἅμα δόξουσι μάλιστα πειθαρχεῖν καὶ πλειστάκις τὰς αὑτῶν γνώμας ἐκείνοις ἐμποιήσουσι· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ἅπαντες ποιοῦνται, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν· ὥστ᾽ εἰ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον. ἀλλὰ γὰρ οὐκ οἶδ᾽ ὅτι δεῖ πλέον μακρολογεῖν· ὑμῶν γὰρ οἱ μὲν πλεῖστοι ταῦτ᾽ ἤδη γιγνώσκουσι, τοῖς δ᾽ ἄλλοις ἐξ ὧν νῦν ὑπέγραψα πρόχειρον ἔσται τὰ παραλελειμμέν᾽ ἐξεργάζεσθαι καὶ διαπονεῖν.

πολλῶν δ᾽ ἐφεστώτων μοι λόγων ἀπορῶ, πῶς αὐτοὺς διαθῶμαι, καὶ τίνος πρώτου μνησθῶ καὶ ποίου δευτέρου· παμπληθῶν γὰρ ἐνόντων ὑπὲρ τῆς ὑποθέσεως εἰπεῖν, οὐ πάνυ χαλεπὸν ἂν εἴη τὰ τυχόντ᾽ εἰκῇ μνημονεῦσαι· τὸ δ᾽ ἐξ αὐτῶν τὰ μάλιστα προσήκοντ᾽ ἐξελέσθαι καὶ τεταγμένως τε συνθεῖναι καὶ σφίσιν αὐτοῖς ὁμολογουμένως, τοῦτο δ᾽ ὡς οἷόν τ᾽ ἐστὶ χαλεπώτατον. δέομαι τοίνυν ὑμῶν καὶ παρίεμαι, τὸν λόγον ἐὰν νομίσητε λίαν ταραχωδῶς ἔχειν, ἀλλ᾽ ὅμως διὰ τούτων ἀπονεῖμαί μοι συγγνώμην.

τάχ᾽ ἂν οὖν οὕτω βέλτιστα τὸ πρᾶγμα διοικοίην, εἰ νῦν μὲν ὡς ἤδη καθεστῶτας ὑποθέμενος τοὺς τῶν λόγων ἐπιμελητὰς καλουμένους, καὶ δύναμιν ἱκανὴν παρὰ τοῖς πολίταις εἰληφότας, τὰ μέλλοντ᾽ ἐκεῖθεν συμβαίνειν ἐξετάσαιμι, περὶ δ᾽ αὐτῆς τῆς καταστάσεως αὐτῶν ὕστερον διέλθοιμι.

πρῶτον μὲν οὖν περὶ πλείστου ποιησαίμην ἄν, εἰ

πείθειν ὑμᾶς δυνηθείην, ὡς τοὺς περὶ τὸ λόγους γράφειν γενομένους ὑπερβαλλόντως ἂν εὐεργετήσειαν. οὐκ ὀκνήσω δὲ κατειπεῖν, ὡς πολλὰς ἐνταῦθά γ' ἐλπίδας ἔχω κατορθώσειν. οὗτοι γὰρ ἂν περὶ τῶν τοιούτων μελετῶν αὐτοί τε μάλιστ' ἐπαΐοντες καὶ πλείστην σπουδὴν ποιούμενοι περὶ τῆς ἐπιδόσεως αὐτῶν, ἔτι δὲ τηλικαύτης δόξης τετυχηκότες ὥστε παρ' ἅπασι τοῖς πολίταις ἀγαπᾶσθαι τοὺς ἐπαίνους τοὺς ὑπ' αὐτῶν διδομένους, οὐκ ἔστιν ὅπως οὐ σπουδαιοτέρους τ' ἂν τοὺς ἄλλους ποιήσαιεν καὶ πλείονος ἀξίους. οἶμαι δ' οὐδέν' ἀγνοεῖν, ὡς οἱ περὶ τοὺς λόγους προαιρούμενοι διατρίβειν οὔτε ῥᾳδίοις πράγμασιν οὔτ' ἀπόνοις ἐπιχειροῦσιν, ἄλλως τ' εἴ τινες νεώτεροι τυγχάνουσιν ὄντες καὶ τοῖς πλείστοις ἀγνῶτες, ἀλλὰ πολλάκις τοσαύταις ἀπορίαις περιπίπτουσιν, ὥστε τοὺς μὲν αὐτῶν δι' ἀθυμίαν ἀπειπόντας ἐπὶ τὰ τυχόντα τῶν ἐπιτηδευμάτων καταφυγεῖν, τοὺς δ' ἀναγκασθῆναι χρημάτων ἕνεκα τοὺς φαυλοτέρους τῶν πολιτῶν κολακεύειν καὶ μεγίστην αἰσχύνην τῇ τέχνῃ τῇ σφῶν αὐτῶν περιάπτειν, ἐνίους δὲ δι' ἔνδειαν τῶν καθ' ἡμέραν ἐν ταῖς ἐσχάταις ταλαιπωρίαις τελευτῆσαι τὸν βίον. οὗτοι δ' εἰ κτήσαιντ' ἐπιστάτας τοὺς νόμῳ καθεστῶτας, ἔργον τε ποιουμένους αὐτῶν ἐπιμελεῖσθαι, πῶς οὐκ ἂν ἀπαλλαγεῖεν τῶν τοιούτων κινδύνων; οἱ γὰρ ἐπιμεληταὶ πλείστην δήπου πρόνοιαν τῶν νεωτέρων ἂν ποιήσαιντο, τοῖς μὲν ὀρθῶς καὶ καλῶς συντιθεῖσι τὰ συγγράμματα βοηθοῦντες καὶ παρακελευόμενοι, τοὺς δ' ἐξαμαρτάνοντας καταμεμφόμενοί τε καὶ νουθετοῦντες, καὶ τοὺς μὲν προὔργου τι ποιεῖν δυναμένους παροξύνοντες ἔτι προθυμότερον διαπονεῖν τὰς μελέτας, τοὺς δ' ἀναρμόστως διακεῖσθαι δοκοῦντας ταῖς διατριβαῖς ἀποτρέποντες.

οὐ μὴν ἀλλ' οὐδ' ἂν τῶν πρεσβυτέρων τ' ὄντων κατα-

μελήσειαν καὶ βεβαιοτέραν ἐχόντων τὴν δόξαν. ἐξείη γὰρ ἂν αὐτοῖς τῶν λόγων τῶν ἐκείνοις ἀεὶ γραφομένων τοὺς μὲν συμμέτρους τ' ὄντας τοῖς πράγμασι καὶ ταῖς περὶ τὴν λέξιν εὐρυθμίαις καὶ ποικιλίαις πρεπόντως κοσμουμένους οὕτω κυρίως ἐπαινεῖν καὶ δοκιμάζειν, ὥστε ποιεῖν καὶ τοὺς ἰδιώτας εὐμενῶς γιγνώσκειν περὶ αὐτῶν— ὅπερ δὴ καὶ παρὰ τοῖς Γαλάταις ὁρῶμεν ἤδη γιγνόμενον· εἰ δέ τις τύχοι τι πλημμελῶν, τούτῳ δὰν ἐπιτιμήσαιεν, οὐδ' ἐάσειαν διαλαθεῖν, ἀλλ' ἐκ παντὸς τρόπου πειραθεῖεν τάς θ' ἁμαρτίας τὰς τὸν λόγον διαφθειρούσας ποιεῖν καταφανεῖς, καὶ τὰς παραπλησίως ἐχούσας αὐταῖς εἰς τὸν μέλλοντα χρόνον κωλύειν.

ἐνθυμοῦμαι δὲ μεταξὺ λέγων, ὅσην ἂν ἐν τούτοις ἐπίδοσιν μέλλοι λαμβάνειν ἡ τῶν ἐπιμελητῶν δύναμις, εἰ παρασχοῖτ' ἐξουσίαν αὐτοῖς διαδιδόναι τοὺς λόγους τοὺς αὐτοῖς δεδοκιμασμένους, ὧν νῦν τὴν διάθεσιν οἱ βιβλιοπῶλαι μεταχειρίζονται πρὸς ἐργολαβίαν. οὕτω γὰρ ἂν τούς τ' ἐπαίνους αἱρετωτέρους ποιήσειαν καὶ παρὰ τοῖς πολίταις μεῖζον δυναμένους, τῶν δὲ συγγραφέων τούς γ' ἐνδεεστέρους ὄντας ταῖς οὐσίαις πολλῶν ἀποριῶν ἀπαλλάξειαν.

περὶ μὲν οὖν τούτων ἀπόχρη μοι τὸ νῦν εἶναι ταῦτ' εἰρηκέναι καὶ συμβεβουλευκέναι· νῦν δ' ἐφ' ἕτερον λόγον τρέψομαι, καὶ περὶ ἄλλων τινῶν τῶν ταύτας τὰς μελέτας ἐπιτηδευόντων ποιήσομαι τὴν σκέψιν, τοῖς ὀλίγῳ πρότερον εἰρημένοις ὡς οἷόν τε μάλιστ' ἀνομοίως πεφυκότων. πάντας δ' ἂν οἶμαι τοὺς εὖ φρονοῦντας συνειπεῖν, ὅτι πολλοὶ τῶν συγγραφέων τῶν πλεῖστα κεχαρισμένων τοῖς ἰδιώταις καὶ μεγίστης τιμῆς παρ' αὐτῶν τυχόντων οὐ μόνον οὐδὲν τὴν πόλιν ὠφελοῦσιν οὔτ' εἰς ἀρετὴν οὔτ' εἰς παιδείαν, ἀλλὰ καὶ τοὺς ἀναγιγνώσκοντας ποιοῦσι πολὺν μὲν χρόνον περὶ τὰς αὐτῶν

φλυαρίας κατατρίβειν, τῶν δὲ σπουδαιοτέρων καὶ προὐργιαιτέρων ἐπιτηδευμάτων ἀμελεῖν, ἔτι δὲ καὶ τοὺς νεωτέρους διαφθείρουσιν, ὡς οὐκ οἶδ' εἴ τινες ἄλλοι τῶν πολιτῶν. οὓς ἅπαντες ἄν, ὅσοι τι φροντίζουσι τῶν συμπολιτευομένων, μισήσειαν μὲν ἂν καὶ ζημιοῦν βουληθεῖεν, ὡς τῶν μεγίστων κακῶν ὄντας αἰτίους· τὸν δὲ τρόπον, ὃν χρὴ τούτους ἐπιχειρεῖν παῦσαι ληροῦντας καὶ τὴν πόλιν βλάπτοντας, οὐ ῥᾴδιόν ἐστιν εὑρεῖν. οἱ γὰρ ἐν τοῖς τοιούτοις τῶν λόγων δυναστεύοντες οὐ μόνον διαφερόντως τῶν ἄλλων παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσι, καὶ πλεῖσθ' οἷοί τ' εἰσὶν ἑκάστοις ἀρέσκειν, ἀλλὰ καὶ τυγχάνουσιν οὕτως ἐξ αὐτῶν ἠφανικότες τάς τε τῶν δοξῶν ἀκριβείας καὶ τὰς περὶ τὴν παιδείαν φιλοπονίας, ὥστε χαλεπώτατον τοῖς ἄλλοις γέγονεν αὐτοὺς μεταπείθειν. ὧν οἱ μὲν τοῖς ἀτοπωτάτοις τῶν μύθων καὶ πλείστων τερατολογιῶν μεστοῖς χαίροντες τῶν σπουδαιοτέρων καταφρονοῦσιν ὡς ἀηδῶν ὄντων καὶ λίαν ψυχρῶν, οἱ δὲ τοῖς μικροῖς λογιδίοις τοῖς τὰ κατὰ τὴν ἡμέραν ἑκάστην συμβαίνοντα πρὸς ἡδονὴν διϊοῦσιν ὥσπερ ἀγγεῖα τὰς ψυχὰς ἐμπιπλάντες, τοῖς δυσκαταμαθήτοις τῶν συγγραμμάτων καὶ πλείονος μελέτης δεομένοις οὐκέτι δύνανται προσέχειν τὸν νοῦν. ὧν ἕνεκ' ἂν οἶμαι πάντων εἶναι καταγελαστότατος, εἰ μὴ πάσῃ παρρησίᾳ χρώμενος εὐθὺς ὡμολόγουν, ὅτι τὰς διαβολὰς ταύτας οὐκ ἔστιν οὐδ' ἐξ ἑνὸς τρόπου ταχέως οὐδ' ἄρδην διαλύειν. οὐ μὴν ἀλλ' οὐδὲ διὰ τούτων ἀποκνητέον ἐστίν, ἀλλὰ πολὺ μᾶλλον σπουδαστέον, ὅπως κατὰ μικρὸν τὴν πόλιν τῶν παρόντων κακῶν εἰς ὅσον δυνατὸν ἀπαλλάξομεν. καίτοι πρὸς ταῦτά γ' ἀποβλέποντες ἐν τίσιν ἂν ἀσφαλέστερον τὰς ἐλπίδας ἔχοιμεν ἢ τοῖς τῶν λόγων ἐπιμεληταῖς; ἐκεῖνοι γὰρ διά τε τῆς δόξης τῆς ἐπὶ σοφίᾳ καὶ διὰ τοῦ νόμῳ λαβεῖν τὴν ἀρχὴν ἐπ' αὐτῇ

τῇ τῶν λόγων διοικήσει, βελτιόνως ἂν δύναιντο τῶν ἄλλων συμπάντων τοὺς μὲν ἀσεβῶς καὶ βλαβερῶς γράφοντας ἐξελέγξαι, περὶ δὲ τῶν ὠφελιμωτέρων καὶ πλείονος σπουδῆς ἀξίων ὑγιεστέρας τοῖς πολλοῖς ἐμποιῆσαι διανοίας.

καὶ μὴν οὐδ' ἐκεῖνος ὁ λόγος δικαίως ἄν με βλάψειεν, ὃν ἴσως ἄν τινες τολμήσειαν εἰπεῖν, ὡς εἰ καί τι τῶν ἐπιμελητῶν ὄφελος ἔσται πρὸς τὸ τοῖς τ' ἐπιεικεστέροις βοηθεῖν τῶν τυχόντων συγγραφέων καὶ τοῖς ἀλαζονευομένοις πολεμεῖν, ἀλλ' οὖν τοῖς γε τῇ φύσει καὶ ταῖς διανοίαις ἐπιφανέστατ' ἀεὶ προέχουσιν οὐκ ἔστιν ὅπως οὐκ ἐνοχλήσουσι καὶ πολλὰς δυσχερείας παρέξουσιν. πολλὴν γάρ που δυστυχίαν τῶν περὶ τοὺς λόγους πραγματευομένων κατεγνώκασιν, εἰ τοὺς μάλιστ' αὐτῶν ἑκάστοτ' εὐδοκιμοῦντας ἧττον νομίζουσιν ἱκανοὺς εἶναι περὶ τῶν ἄλλων βραβεύειν ἢ τοὺς τῆς ἐκείνων παιδείας μηδὲν ὡς ἔπος εἰπεῖν κοινωνοῦντας. χωρὶς δὲ τούτων, εἰ δεῖ τοῖς ἐν ἄλλαις πόλεσι γεγενημένοις τεκμαίρεσθαι περὶ τῶν ἐνθάδε γενήσεσθαι μελλόντων, ἐνθυμήθηθ' ὅτι παρὰ τοῖς Γαλάταις, οὐ πολὺς χρόνος ἐξ οὗ, μυθοποιός τις ἐπεπόλαζεν, τοὺς χείρους τῶν ἀνθρώπων δεινὸς ἀπεικάζειν, ὃς τοῖς μὲν ἐπιμεληταῖς τοῖς ἐκεῖ καθεστηκόσιν οὐδέποτ' ἄξιος ἔδοξε τῶν τιμῶν τῶν ὑπ' αὐτῶν κρινομένων, παρὰ δὲ τῶν πολλῶν τοσαύτης ἔτυχεν δόξης, ὅσης οὐκ οἶδ' εἴ τις ἄλλος τῶν πολιτῶν.

ἐὰν δ' ἀφέμενοι τούτων εἰς τὸν τῆς λέξεως τρόπον τὸν ἅπασι κοινὸν ἀποβλέψωμεν, οὐδὲν οἶμαι χαλεπὸν ἔσται κατιδεῖν, ὅσον δεῖταί τινων ἐπιστατῶν, οἵτινες ἔργον ποιήσονται τό τ' ἀκριβὲς τῆς γλώττης καὶ τὸ καθαρὸν διαφυλάττειν, καὶ νομοθετήσουσι περὶ αὐτῆς, ἵνα μηκέτι χύδην καὶ φορτικῶς, ὡς πολλοὶ νῦν εἰώθασι,

τοῖς ἐπιτυχοῦσι χρησώμεθα τῶν ὀνομάτων, ἀλλὰ καλῶς καὶ πρεπόντως ἑκάστοις τοῖς πράγμασι διαθῶμεν τὴν λέξιν. πρὸς δὲ τούτοις κἀκεῖνο χρὴ σκοπεῖν, ὡς ἐν τῷ γε παρόντι πλεῖστ' ἀναγκαῖόν ἐστι ποιεῖσθαι τούτων πρόνοιαν. ἐπεὶ τῶν μὲν ἀποίκων τῶν ἀφ' ὑμῶν ἐκπεμφθέντων ἐν ὀλίγῳ χρόνῳ θαυμασίως κατὰ τὸ πλῆθος καὶ τὴν δύναμιν ἐπιδεδωκότων, τῆς δὲ μητροπόλεως μᾶλλον συνεσταλμένην ἢ πρὸ τοῦ τὴν ἡγεμονίαν ἐχούσης, πῶς οὐ χρὴ μετὰ πλείστης σπουδῆς εὐλαβεῖσθαι, μὴ δι' ἀπειρίας τῆς ἐνθάδε παιδείας οἱ τὰς ἀποικίας ἐνοικοῦντες διαφθείρωσι τῆς λέξεως τὴν εὐπρέπειαν καὶ τὴν συμμετρίαν, καὶ ταῖς τῶν βαρβάρων πλημμελείαις περιπέσωσιν;

ἴσως δ' ἄν τινες οὔπω νομίσειαν ἐξαρκούντως ἐπιτελεῖσθαι τὴν ὑπόθεσιν, ἐὰν μὴ τὸ τέλος ἐπιδείξω, καθ' ὅντινα χρὴ τρόπον καταστῆσαι τοὺς ἐπιμελητάς. ἀλλὰ μὴν εἴπερ γε διὰ τῶν πρότερον εἰρημένων πλέον τί μοι γέγονεν, οὐ πολὺν δεῖ χρόνον ἐνταῦθα διατρίβειν. πρῶτον μὲν γὰρ πολλή 'στιν ὑμῖν ἀφθονία φρονιμωτάτων ἀνδρῶν καὶ κάλλιστα πεπαιδευμένων, ἐξ ὧν οἷοί τ' ἔσεσθε ποιεῖσθαι τὴν αἵρεσιν. ἔπειτα δ' οὐ νομίζω πολλὰ δεήσειν χρήματ' εἰς αὐτοὺς ἀναλῶσαι. καίτοι πῶς οὐκ ἄτοπον ἂν εἴη περὶ τοσούτων πραγμάτων βουλευομένους μικρᾶς ἕνεκα δαπάνης ὑμᾶς ἀποκνῆσαι;

περὶ δὲ τῶν ἄλλων σχεδὸν οὐχ οἷόν τ' ἔστιν οὐδὲν νόμῳ γε διαπράττειν, ἀλλὰ πάντα χρὴ τοῖς πολίταις πιστεύειν. βούλομαι δ', ἐπειδήπερ εἰς τοῦτο προῆλθον, ἔτι μικρὰ περὶ αὐτοῦ προσθεὶς τελευτῆσαι τὸν λόγον. ἐγὼ γὰρ δὴ μεγίστην ὑμῶν ταύτην κατηγορῶ δυστυχίαν, καὶ μάλιστα τοῦτ' ὀδύρομαι τῶν ἁμαρτημάτων ἁπάντων, ὅτι τῶν μὲν παρ' ὑμῖν νομιζομένων, εἰ καὶ τὰ μάλιστ' ἔχει φαύλως, ἐθίζεσθε λίαν γλίσχρως ἀντέχεσθαι, τὰ

δ' ὑπὸ τῶν φρονιμωτάτων τῶν πολιτῶν συμβουλευθέντα καὶ τὰ πλεῖστ' ἐν ἄλλαις πόλεσι κατορθωθέντα φιλεῖθ' ὑπερορᾶν καὶ διασύρειν. ὧν εἴ πως δυνηθεῖτε πορίσασθαί τινα διάλυσιν, τὴν ταχίστην εὕροιτ' ἂν ἀπαλλαγὴν τῶν κακῶν τῶν ὑμῖν ἐπηρτημένων.

τοιγαροῦν ὑμᾶς παραιτοῦμαι καὶ λιπαρῶ, πρῶτον μὲν περὶ πλείονος ποιεῖσθαι τοὺς λόγους τοὺς τῆς ἀληθείας στοχαζομένους τῶν τὰς δόξας τῶν ἀκροωμένων παρακρούεσθαι ζητούντων, καὶ τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νουθετοῦντας τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων, ἔπειτα μὴ πιστεύειν ταῖς γνώμαις ταῖς ὑμῖν αὐτοῖς ἑκάστοτ' ἐγγιγνομέναις, μηδὲ νομίζειν ἀληθεῖς εἶναι τὰς κρίσεις τὰς ὑπὸ τῶν ῥᾳθυμούντων ποιουμένας, ἔτι δὲ μὴ προπετῶς ἀποφαίνεσθαι περὶ ὧν οὐδὲν τυγχάνετ' εἰδότες, ἀλλὰ περιμένειν, ἕως ἂν ὁμονοῆσαι δυνηθῆτε τοῖς τῶν ἐπιδεικνυμένων πλείστην ἔχουσιν ἐμπειρίαν.

UofM